ἐλάχιστοι τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς· οὐκ ἄρα
μονάς ἐστιν ὁ ΕΖ. εἰ γὰρ ἐστὶ μονὰς ὁ ΕΖ, καὶ ἔχει λόγον
πρὸς τὸν Η ὃν ἔχει ἡ ΑΓ πρὸς τὴν ΑΒ, καὶ μείζων ἡ ΑΓ τῆς
ΑΒ, μείζων ἄρα καὶ ἡ ΕΖ μονὰς τοῦ Η ἀριθμοῦ· ὅ-
περ ἐστὶν ἄτοπον· οὐκ ἄρα μονάς ἐστιν ὁ ΕΖ· ἀριθμὸς
ἄρα. καὶ ἐπεί ἐστιν ὡς ἡ ΓΑ πρὸς τὴν ΑΒ, οὕτως ὁ ΕΖ
πρὸς τὸν Η, καὶ ὡς ἄρα τὸ ἀπὸ τῆς ΓΑ πρὸς τὸ ἀπὸ
τῆς ΑΒ, οὕτως ὁ ἀπὸ τοῦ ΕΖ πρὸς τὸν ἀπὸ τοῦ Η.
διπλάσιον δὲ τὸ ἀπὸ τῆς ΓΑ τοῦ ἀπὸ τῆς ΑΒ· δι-
πλάσιος ἄρα καὶ ὁ ἀπὸ τοῦ ΕΖ τοῦ ἀπὸ τοῦ Η· ἄρ-
τιος ἄρα ἐστὶν ὁ ἀπὸ τοῦ ΕΖ· ὥστε καὶ αὐτὸς ὁ ΕΖ ἄρ-
τιός ἐστιν· εἰ γὰρ ἦν περισσός, καὶ ὁ ἀπ' αὐτοῦ τετρά-
γωνος περισσὸς ἦν· ἐπειδήπερ ἐὰν περισσοὶ ἀ-
ριθμοὶ ὁποσοιοῦν συντεθῶσιν, τὸ δὲ πλῆθος αὐ-
τῶν περισσὸν ᾖ, ὁ ὅλος περισσός ἐστιν· ὁ ΕΖ ἄρα ἄρ-
τιός ἐστι. τετμήσθω δίχα κατὰ τὸ Θ. καὶ ἐπεὶ οἱ ΕΖ Η
ἀριθμοὶ ἐλάχιστοί εἰσι τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐ-
τοῖς, πρῶτοι πρὸς ἀλλήλους εἰσίν. καὶ ἔστιν ὁ ΕΖ ἄρ-
τιος· περισσὸς ἄρα ἐστὶν ὁ Η· εἰ γὰρ ἦν ἄρτιος, τοὺς
ΕΖ Η δυὰς ἐμέτρει· πᾶς γὰρ ἄρτιος ἔχει μέρος ἥμι-
συ· πρώτους ὄντας πρὸς ἀλλήλους· ὅπερ ἐστὶν ἀδύ-
νατον· οὐκ ἄρα ἄρτιός ἐστιν ὁ Η· περισσὸς ἄρα. καὶ
ἐπεὶ διπλάσιός ἐστιν ὁ ΕΖ τοῦ ΕΘ, τετραπλάσιος
ἄρα ὁ ἀπὸ τοῦ ΕΖ τοῦ ἀπὸ τοῦ ΕΘ· διπλάσιος δὲ
ὁ ἀπὸ τοῦ ΕΖ τοῦ ἀπὸ τοῦ Η· διπλάσιος ἄρα ὁ
ἀπὸ τοῦ Η τοῦ ἀπὸ τοῦ ΕΘ· ἄρτιος ἄρα ἐστὶν ὁ

ἀπὸ τοῦ Η· ἄρ-
τιος ἄρα διὰ
τὰ εἰρημένα ὁ
Η· ἀλλὰ καὶ πε-
ρισσός· ὅπερ
ἐστὶν ἀδύνατον·
οὐκ ἄρα σύμμε-
τρός ἐστιν ἡ ΓΑ



τῇ ΑΒ μήκει· ἀσύμμετρος ἄρα ὁ Η:

Ἄλλως.

Δεικτέον καὶ ἑτέρως ὅτι ἀσύμμετρός ἐστιν ἡ τοῦ τετρα-
γώνου διάμετρος τῇ πλευρᾷ· ἔστω γὰρ ἀντὶ μὲν
τῆς διαμέτρου ἡ Α, ἀντὶ δὲ τῆς πλευρᾶς ἡ Β· λέγω
ὅτι ἀσύμμετρός ἐστιν ἡ Α τῇ Β μήκει. εἰ γὰρ δυνα-
τόν, ἔστω σύμμετρος· καὶ γεγονέτω πάλιν ὡς ἡ Α πρὸς
τὴν Β, οὕτως ὁ ΕΖ ἀριθμὸς πρὸς τὸν Η· καὶ ἔστωσαν
ἐλάχιστοι τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς· οἱ ΕΖ Η ἄρα
πρῶτοι πρὸς ἀλλήλους εἰσίν· λέγω πρῶτον ὅτι ὁ
Η οὐκ ἔστι μονάς· εἰ γὰρ δυνατόν, ἔστω μονάς. καὶ ἐπεί
ἐστιν ὡς ἡ Α πρὸς τὴν Β, οὕτως ὁ ΕΖ πρὸς τὸν Η· καὶ
ὡς ἄρα τὸ ἀπὸ τῆς Α πρὸς τὸ ἀπὸ τῆς Β, οὕτως
ὁ ἀπὸ τοῦ ΕΖ πρὸς τὸν ἀπὸ τοῦ Η· διπλάσιον δὲ τὸ
ἀπὸ τῆς Α τοῦ ἀπὸ τῆς Β· διπλάσιος ἄρα καὶ ὁ ἀπὸ
τοῦ ΕΖ τοῦ ἀπὸ τοῦ Η· καί ἐστι μονὰς ὁ Η· δυὰς
ἄρα ἐστὶν ὁ ἀπὸ τοῦ ΕΖ τετράγωνος· ὅπερ ἐστὶν ἀδύ-
νατον· οὐκ ἄρα μονάς ἐστιν ὁ Η· ἀριθμὸς ἄρα. καὶ
ἐπεί ἐστιν ὡς τὸ ἀπὸ τῆς Α πρὸς τὸ ἀπὸ τῆς Β, οὕτως